φοῦσι· πάντες γὰρ μέχρι τινὸς καὶ ἐξετάζειν καὶ ὑπέχειν λόγον, καὶ ἀπολογεῖσθαι καὶ κατηγορεῖν ἐγχειροῦσιν. τῶν μὲν οὖν πολλῶν, οἱ μὲν, εἰκῇ ταῦτα δρῶσιν· οἱ δὲ, διὰ συνήθειαν ἀπὸ ἕξεως. ἐπεὶ δ᾽ ἀμφοτέρως ἐνδέχεται, δῆλον ὅτι εἴη ἂν αὐτὰ καὶ ὁδοποιεῖν· δι᾽ ὃ γὰρ ἐπιτυγχάνουσιν οἵ τε διὰ συνήθειαν, καὶ οἱ ἀπὸ ταὐτομάτου, τὴν αἰτίαν θεωρεῖν ἐνδέχεται· τὸ δὲ τοιοῦτον, πάντες ἤδη ἂν ὁμολογήσαιεν, τέχνης ἔργον εἶναι. νῦν μὲν οὖν οἱ τὰς τέχνας τῶν λόγων συντιθέντες, ὀλίγον πεποιήκασιν αὐτῆς μόριον· αἱ γὰρ πίστεις, ἔντεχνόν ἐστι μόνον· τὰ δ᾽ ἄλλα, προσθῆκαι. οἱ δὲ, περὶ μὲν ἐνθυμημάτων, οὐδὲν λέγουσιν, ὅπερ ἐστὶ σῶμα τῆς πίστεως. περὶ δὲ τῶν ἔξω τοῦ πράγματος, τὰ πλεῖστα πραγματεύονται· διαβολὴ γὰρ, καὶ ἔλεος, καὶ ὀργὴ, καὶ τὰ τοιαῦτα πάθη τῆς ψυχῆς, οὐ περὶ τοῦ πράγματός ἐστιν, ἀλλὰ πρὸς τὸν δικαστήν· ὥστ᾽, εἰ περὶ πάσας ἦν τὰς κρίσεις, καθάπερ ἐν ἐνίαις τε νῦν ἐστι τῶν πόλεων, καὶ μάλιστα ἐν ταῖς εὐνομουμέναις, οὐδὲν ἂν εἶχον ὅτι λέγωσιν· ἅπαντες γὰρ, οἴονται δεῖν οὕτω τοῖς νόμοις ἀγορεύειν· οἱ δὲ, καὶ χρῶνται, καὶ κωλύουσιν ἔξω τοῦ πράγματος λέγειν, καθάπερ καὶ ἐν ἀρείῳ πάγῳ· ὀρθῶς τοῦτο νομίζοντες. οὐ γὰρ δεῖ τὸν δικαστὴν διαστρέφειν, εἰς ὀργὴν προάγοντας, ἢ φθόνον, ἢ ἔλεον· ὅμοιον γὰρ κἂν εἴ τις, ᾧ μέλλει χρῆσθαι κανόνι, τοῦτο ποιήσειε στρεβλόν. ἔτι δὲ φανερὸν, ὅτι τοῦ μὲν ἀμφισβητοῦντος οὐδέν ἐστιν ἔξω τοῦ δεῖξαι τὸ πρᾶγμα, ὅτι ἐστὶν ἢ οὐκ ἔστιν, ἢ γέγονεν ἢ οὐ γέγονεν· εἰ δὲ μέγα ἢ μικρὸν, ἢ δίκαιον ἢ ἄδικον, ὅσα μὴ ὁ νομοθέτης διώρικεν, αὐτὸν δήπου τὸν δικαστὴν δεῖ γινώσκειν, καὶ οὐ μανθάνειν παρὰ τῶν ἀμφισβητούντων. μάλιστα μὲν οὖν προσήκει τοῖς ὀρθῶς κειμένοις νόμοις, ὅσα ἐνδέχεται, πάντα διορίζειν αὐτοῖς, καὶ ὅτι ἐλάχιστα καταλείπειν ἐπὶ τοῖς κρίνουσι· πρῶτον μὲν, ὅτι ἕνα λαβεῖν, καὶ ὀλίγοις ῥᾷον, ἢ πολλοῖς εὖ φρονοῦντας καὶ δυναμένους νομοθετεῖν καὶ δικάζειν· ἔπειθ᾽ αἱ μὲν νομοθεσίαι, ἐκ πολλοῦ χρόνου σκεψαμένων γίνονται· αἱ δὲ κρίσεις, ἐξ ὑπογύου. ὥστε χαλεπὸν ἀποδιδόναι τὸ δίκαιον καὶ τὸ συμφέρον, καλῶς, τοῖς κρίνοντας. τὸ δὲ πάντων μέγιστον, ὅτι ἡ μὲν τοῦ νομοθέτου κρίσις, οὐ κατὰ μέρος, οὔτε περὶ τῶν παρόντων, ἀλλὰ περὶ μελλόντων τε καὶ καθόλου ἐστίν· ὁ δ᾽ ἐκκλησιαστὴς καὶ δικαστὴς, ἤδη περὶ παρόντων

A ſunt. Omnes enim quadamtenus & exquirere & ſuſtinere rationem, & defendere, & accuſare conantur. Ac ex imperita quidem multitudine alij temere hæc faciũt: alij conſuetudine, & habitu. Quoniam verò vtroque modo contingit manifeſtũ eſt licere eadem etiam facere certa via, & ratione. Cur.n.finẽ cõſequantur, tũ qui hæc faciũt cõſuetudine, tũ qui caſu, cauſam intueri cõtingit. Iã verò omnes cõfeſſi fuerint huiuſmodi eſſe artis munus. Ac nunc B quidẽ qui artes orationũ cõponũt, exiguã ipſarũ particulã cõfecerunt. Fides.n.artificioſa eſt ſolum: alia verò additaméti ſunt loco. At hi nihil quidem de enthymematibus dicunt, id quod eſt robur fidei: de iis verò, quæ ſunt extra rem, plurima tradũt. Criminatio enim & miſericordia, & ira & huiuſmodi animi perturbationes non de re ſunt, ſed ad iudicem. Quòd ſi in omnib. iudiciis eueniret quemadmodum in non- C nullis etiam nunc euenit ciuitatibus, maximè verò in iis, quæ bene ſunt inſtitutæ, nihil haberent, quod dicerent. Omnes enim partim arbitrantur oportere ſic leges cauere: partim hoc inſtitutum retinent & prohibent extra rem dicere, vt etiam in Areopago, rectè ſic ſtatuentes. Non enim oportet iudicem peruertere ad iram excitando, vel inuidiam, vel miſericordiam: quia id ſimile eſt ac ſi quis D qua vſurus eſt regula, eam reddat peruerſam. Præterea verò apparet eius, qui controuerſatur, nihil eſſe, niſi vt demonſtret rem eſſe, vel non eſſe, vel factam, vel non factam eſſe. At verò, vtrum magna, an parua ſit, vtrum iuſta, an iniuſta, quæcunque legis lator non diſtinxit, ipſum nempe iudicem oportere cognoſcere, & non diſcere à controuerſantibus. Maximè igitur conuenit rectè latas leges, quæcun- E que poſſunt omnia ipſas diſtinguere, & quàm pauciſſima relinquere iis qui iudicant. Primùm, quia facilius eſt vnum habere, & paucos, quàm multos, qui bene exiſtiment, & poſſint legem ferre, ac ius conformare. Deinde, legumlationes ex longi temporis conſiderationibus fiunt: at iudicia derepente, vt difficulter rectam habeant iuſtitiæ & vtilitatis rationem il- F li, qui iudicant. Atque quod omnium eſt maximum, quia legiſlatoris iudicium non eſt de rebus ſingularibus nec de præſentibus, ſed de futuris, & de vniuerſalibus: at concio, & iudex de præſentibu